A καὶ ἡ τυραννὶς ἀγαθὸν, καὶ ἡ ἀρχὴ, καὶ ἡ ἐξουσία, οἶδεν· ἀλλ' εἰ αὐτῷ ἀγαθὸν ἢ μὴ, ἢ πότε, ἢ πῶς διακειμένῳ, οὐκέτι οἶδε. τοῦτο δ' ἐστὶ μάλιστα τῆς φρονήσεως. ὥστε τῷ ἀδίκῳ οὐ παρακολουθεῖ ἡ φρόνησις. αἱρεῖται γὰρ τἀγαθὰ, ὑπὲρ ὧν ἀδικεῖ, τὰ ἁπλῶς ἀγαθὰ, οὐ τὰ αὐτῷ ἀγαθά. ὁ γὰρ πλοῦτος καὶ ἡ ἀρχὴ, ἁπλῶς μὲν ἀγαθὸν, αὐτῷ μέντοι ἴσως οὐκ ἀγαθόν. B εὐπορήσας γὰρ καὶ ἄρξας, πολλὰ κακὰ αὐτὸς ἑαυτῷ ποιήσει καὶ τοῖς φίλοις. οὐ γὰρ δυνήσεται ἀρχῇ ὀρθῶς χρήσασθαι. ἔχει δὲ καὶ τοῦτο ἀπορίαν καὶ σκέψιν, πότερόν ἐστι πρὸς τὸν φαῦλον ἀδικία, ἢ οὔ. εἰ γὰρ ἡ μὲν ἀδικία ἐστὶν ἐν βλάβῃ, ἡ δὲ βλάβη ἐν στερήσει τῶν ἀγαθῶν, οὐκ ἂν δόξειε βλάπτειν. τὰ γὰρ ἀγαθὰ ἃ αὐτῷ οἴεται εἶναι ἀγαθὰ, οὐκ ἀγαθά εἰσιν. ἡ γὰρ ἀρχὴ καὶ ὁ πλοῦτος τὸν C φαῦλον οὐ δυνάμενον αὐτοῖς χρῆσθαι ὀρθῶς, βλάψει. εἰ οὖν αὐτὸν βλάψει παραγινόμενα, ὁ τούτων στερίσκων, οὐκ ἂν δόξειεν ἀδικεῖν. ὁ δὴ τοιοῦτος λόγος δόξειεν ἂν εἶναι παράδοξος τοῖς πολλοῖς. πάντες γὰρ οἴονται καὶ ἀρχῇ, καὶ δυνάμει, καὶ πλούτῳ δυνατοὶ εἶναι χρῆσθαι, οὐκ ὀρθῶς ὑπολαμβάνοντες. δῆλον δὲ τοῦτο καὶ ἐκ τοῦ νομοθέτου. ὁ γὰρ D νομοθέτης οὐ πᾶσιν ἐπιτρέπει τὸ ἄρχειν, ἀλλ' ὡς εἴρηται καὶ ἡ ἡλικία, καὶ ἡ εὐπορία, ἣν δεῖ ὑπάρχειν τῷ μέλλοντι ἄρχειν, ὡς οὐ δυνατὸν ὂν παντὶ ἄρχειν ὑπάρξαι. εἰ δή τις ἀγανακτοίη ὅτι οὐκ ἄρχει, ἢ οὐδεὶς ἑαυτὸν ἐᾷ κυβερνᾶν· οὐ γὰρ ἔχεις (εἴποι ἄν τις) οὐδὲν τοιοῦτον ἐν τῇ ψυχῇ, ᾧ δυνήσῃ καὶ ἄρχειν καὶ κυβερνᾶν. ἢ ὅτι μὲν τοῦ σώματος ὁρῶμεν οὐ δυναμένοις ὑγιαίνειν τοῦ τὰ ἁπλῶς ἀγαθὰ E προσφερομένοις. ἀλλ' εἰ μέλλει τις ὑγιαίνειν τὸ σῶμα τὸ φαῦλον, ὕδωρ αὐτῷ πρότερον, καὶ ὀλίγα σιτία προσενεκτέον· τῷ δὲ τὴν ψυχὴν φαύλην ἔχοντι, πρὸς τὸ μηδὲν κακὸν ἐργάζεσθαι, ἀφεκτέον καὶ πλούτου, καὶ ἀρχῆς, καὶ δυνάμεως, καὶ ἁπλῶς τῶν τοιούτων, ὅσῳ εὐκινητότερον καὶ εὐμεταβολώτερον ψυχὴ σώματος. ὥσπερ γὰρ ὁ φαῦλος τὸ σῶμα οὕτως ἣν ἐπιτήδειος διαιτᾶσθαι, F καὶ ὁ φαῦλος τὴν ψυχὴν οὕτως ἐπιτήδειος διάγειν, μηθὲν τῶν τοιούτων ἔχων. ἔχει δὲ τὸ τοιοῦτον ἀπορίαν, οἷον ἐπειδὰν μὴ ᾖ ἄλλα πρᾶξαι, τὰ ἀνδρεῖα καὶ τὰ δίκαια πότ' ἄν τις πράξειεν; ἐν μὲν δὴ ταῖς φυσικαῖς ἀρεταῖς ἔφαμεν τὴν ὁρμὴν μόνον

A est bonum, & tyrannis, & dominatus, & imperium nouit: verùm sibíne bonum, an secus, vel quando, vel quomodo affecto, neutiquam nouit. Id quod est in primis prudentiæ, & proinde iniusti comes non est prudentia. Bona siquidem deligit, quibus afferat iniuriam: quæ certè bona simpliciter, non ipsi sunt bona: quandoquidem opulentia, & dominatus simpliciter bonum est, ipsi certè non fortassis B bonum: nam si opes cum dominatione coniunctas nactus fuerit, multa sibi, amicísque nequiter faciet, quando iure vti dominatu non poteſt. Hinc ambigendum, considerandúmque videtur, sitne aduersus nequam iniuria, nécne? Nam si in offensione iniuria est, & in priuatione bonorum offensio, neutiquam videri potest offendere. Siquidem quæ sibi esse bona arbitratur, bona non sunt. Nam domina- C tus, & opulentia nequam hominem offendunt, quòd ipsis rectè vti non possit. Proinde si quæ aduentantia offendunt, ea bona abstulerit, afficere non videtur iniuria. Multis eiusmodi oratio videbitur admirabilis. Omnes siquidem opinantur, se posse dominatu, & imperio, & opulentia vti: neutiquam rectè ita existimantes. Quod ex legislatore certum est. Legis D nanque lator non omnibus suadet imperare, verùm (vt dictum est) cui ætas, cui copia non defuerit ad dominandum: quòd nimirum fieri nequeat, vt sint omnes ad imperandum apti. Quod si quispiam indignetur, se carere imperio, atque gubernatione: dixerit quispiam, Neque tibi ea est anima, vnde imperare, gubernaréque possis. Corpore quidem cernimus sanos esse eos qui iis vescantur quæ sint simpliciter bona. At ne languori E succumbat corpus, volens conualescere, aquam prius, & inediam exhibet. Ita qui nequam habuerit animam, ne quippiam mali exerceat, ei opulentia, & imperium, & dominatus, & omnino alia id genus, sunt auferenda, quanto mobilior mutabiliorque est corpore anima. Nam quemadmodum improbum corpus quispiam sortitus, victum debet sibi adhibere idoneum: ita improbam animam nactus, is est, cui sint ea quæ memorauimus, F deuitanda. Hoc etiam ambiguum esse potest, vt, cùm non sit aliter agere fortiter quàm iustè, quando natura quis videatur acturus. In naturalibus quippe virtutibus, solum dicebamus impulsum